**Bisetus.** Κλέων ἐξ ὕπνου ἐγερθεὶς τὸ κλέμμα τῶν δούλων αἰσθάνεται, καὶ τὰ ἔσχατα τῶν δεινῶν αὐτοῖς ἀπειλεῖ. A

ΚΛ. Οὔτοι μὰ τοὺς δώδεκα θεοὺς χαιρήσετον,
Ὅτι ἐπὶ τῷ δήμῳ ξυνόμνυτον πάλαι.
Τουτὶ τί δρᾷ τὸ Χαλκιδικὸν ποτήριον;
Οὐκ ἔστιν ὅπως οὐ Χαλκιδέας ἀφίστατον.
Ἀπολεῖσθον, ἀποθανεῖσθον ὦ μιαρωτάτω.

CL. At nō gaudebitis per duodecim Deos:
Quòd dudum coniurastis in plebem: quid hoc
Agit Chalcidicum poculum? non est, uti
Non ad defectionem impellatis poplum
Chalcidicum, pereatis: moriamini, improbi.

B

Σχόλια. Μὰ τοὺς δώδεκα θεούς.] τοῦτο Κλέων λέγει ἰδὼν ὁμιλοῦντας, καὶ μὴ εἰδὼς περὶ τοῦ ὁμιλοῦσι, συνωμότας καλεῖ. πικρᾶς οὖν κατὰ τοῦ Κλέωνος ἐκφέρονται, ὡς τοιαῦτα αὐτοῦ συκοφαντοῦντος ἀπὸ μικρῶν καὶ εὐτελῶν προφάσεων. χαιρήσετον δὲ χαίροντες ἀπαλλαχθήσεσθον. Ξυνόμνυτον.] ξυνωμοσίαν ἐποιήσατε. τουτέστιν ὅρκους καὶ πίστεις ἀλλήλοις δεδώκατε ἵνα ὁμοφωνήσητε κατὰ τοῦ δήμου. Τὸ χαλκιδικὸν ποτήριον.] ἔγνω μὲν ὅτι ὁ θεράπων ἔπινε καὶ εἶχεν ἐπὶ χεῖρας τὸ ποτήριον. ἰδὼν οὖν ὁ Κλέων, προφάσει καὶ τούτῳ κέχρηται τῆς συκοφαντίας. καὶ τὸ ποτήριον εὐθὺς ὠνόμασεν ὡς Χαλκιδικόν. κωμῳδεῖ δὲ αὐτὸν ὡς καὶ ἐπὶ τοῖς τυχοῦσι μεγάλα μεμφόμενον. οἱ δὲ Χαλκιδεῖς εἰσὶ μὲν ἐπὶ τῆς Εὐβοίας ἄποικοι Ἀθηναίων. εἰσὶ δὲ καὶ ἐπὶ Θρᾴκης οἱ Χαλκιδεῖς, ἄποικοι ὄντες ἀπὸ τῆς Εὐβοίας. πολλὰ δὲ ἦν τότε χωρία τῆς Θρᾴκης ὑπακούοντα τοῖς Ἀθηναίοις. περὶ ὧν νῦν λέγει. καὶ γὰρ ἐπὶ Θρᾴκης Χαλκιδεῖς ἦσαν ὑπήκοοι τῶν Ἀθηναίων. φησὶν οὖν ὅτι τὸ ποτήριον τοῦτο Χαλκιδικόν ἐστι. καὶ πόθεν ὑμεῖς αὐτὸ ἔχετε. εἰ μὴ δῶρον ὑμῖν ἐδόθη ἵνα ἀποστῶσιν. ἔλαβε δὲ τὴν πρόφασιν εὐκαιρον τοῦ ὀνόματος τῶν Χαλκιδέων. διὰ τὸ κατ' ἐκεῖνον τὸν καιρὸν ἀποστῆναι αὐτοὺς τῶν Ἀθηναίων. ἀπέστησαν δὲ ἀπὸ Ἀθηναίων Χαλκιδεῖς ἐπὶ Εὐκλείδου ἄρχοντος. Χαλκιδέας ἀφίστατον.] πόλις Εὐβοίας. ἄποικοι Ἀθηναίων. ἐχρῶντο δὲ τοῖς ὀστρακίνοις εἰς τὰ συμπόσια. ὡς ἀεὶ οὖν τοῦ Κλέωνος διὰ ἐλάχιστόν τι κατηγοροῦντος. χωρίζετε οὖν φησὶ Χαλκιδέας ἀπὸ τῆς τῶν Ἀθηναίων συμμαχίας.

C

---

**Bisetus.** Ἀγοράκριτος Κλέωνα πόρρωθεν ἰδών, ὑπὸ φόβου φεύγει. τοῦτον Δημοσθένης μάτην ἐπέχειν πειρᾶται. Οὐ μὴν πολὺν δὲ χρόνον ὑπὸ τοῦ τῶν ἱππέων χοροῦ θαρραλεώτερος ποιηθεὶς τὸν Κλέωνα τὴν τῆς βουλῆς βοήθειαν λαμπραῖς φωναῖς ματαίως ἐπιβοῶντα παίει, καὶ τύπτει.

ΔΗ. Οὗτος, τί φεύγεις; οὐ μενεῖς; ὦ γεννάδα D
Ἀλλαντοπῶλα, μὴ προδῷς τὰ πράγματα.
Ἄνδρες ἱππῆς παραγένεσθε, νῦν ὁ καιρός, ὦ Σίμων,
Ὦ Παναίτι', οὐκ ἐλᾶτε πρὸς τὸ δεξιὸν κέρας;
Ἄνδρες ἐγγύς, ἀλλ' ἀμύνου, κἀπαναστρέφου πάλιν.
Ὁ κονιορτὸς δῆλος αὐτῶν, ὡς ὁμοῦ προσκειμένων.
Ἀλλ' ἀμύνου καὶ δίωκε, καὶ τροπὴν αὐτοῦ ποιοῦ.

DE. Heus tu quid fugis? hem fartor, non manebis hic?
At quæso te fartor, ne prodas negocium.
Viri equites adeste, nunc appetit occasio: ô Simo,
O Panæti, cur non ad sinistrum cornu flectitis?
Hùc propè adeste viri. tu dimica & reuertere ocyus.
Puluis manifestè excitatur, vt vnà ipsis properantibus. E
Agè propugna, persequere: in fugā ipsum ac dudum coniice.

Σχόλια. Ὦ γεννάδα.] τοῦτο ὁ θεράπων πρὸς τὸν Ἀγοράκριτον. ἔν τισι δὲ οἱ δύο στίχοι οὐκ ἔγκεινται. Ἄνδρες ἱππεῖς.] ὡς συκοφαντούμενοι, ἐπικαλοῦνται εἰς βοήθειαν τοὺς ἱππέας. ἵππαρχοι δὲ ὁ Σίμων καὶ ὁ Παναίτιος. Πρὸς τὸ δεξιὸν κέρας.] ὡς ἐπὶ τάξεως φησίν. ὁ δὲ Παναίτιος ὡς μέγας τῶν ἱππέων κωμῳδεῖται. τινὲς δὲ τὸ μὲν ἄνδρες ἱππεῖς ἀλλαντοπώλην λέγειν. ἄλλοι δὲ τὸ ἄνδρες ἐγγύς, τὸν θεράποντα. Κἀπαναστρέφου.] ὡς τοῦ ἀλλαντοπώλου πεφευγότος, εἶπεν ἀναστρέφου. Ὡς ὁμοῦ προκειμένων.] τὸ ὁμοῦ λέγουσιν Ἀττικοὶ ἀντὶ τοῦ ἐγγύς. ὡς καὶ ἐν Εἰρήνῃ. καὶ μὴν ὁμοῦ ἐστιν ἤδη.

F

---

**Bisetus.** Τοῦ χοροῦ ἀπὸ τῶν ἱππέων συμπληρουμένου πάροδος, καὶ ἔκθεσις τῆς διπλῆς ἀμοιβαίας ἐκ στίχων λζ.

ΧΟ. Παῖε παῖε τὸν πανοῦργον καὶ ταραξιππόστρατον,
Καὶ τελώνην, καὶ φάραγγα, καὶ χάρυβδιν ἁρπαγῆς,
Καὶ πανοῦργον, καὶ πανοῦργον. πολλάκις γὰρ αὔτ' ἐρῶ.
Καὶ γὰρ οὗτος ἦν πανοῦργος πολλάκις τῆς ἡμέρας.
Ἀλλὰ παῖε καὶ δίωκε, καὶ τάραττε, καὶ κύκα,

CH. Cæde cæde versipellem, copiarum equestrium
Hostem, publicanum, barathrúmque & rapinæ gurgitem:
G Versipellem, versipellem (sæpe hoc repetendum puto:
Nam sæpe hic erat vno versutus die) feri, feri,

Σχόλια. Παῖε παῖε.] ἐντεῦθεν ἡ πάροδος γίνεται τοῦ χοροῦ ἀπὸ τῶν ἱππέων συμπληρουμένου. οἵτινες ἐπικαλουμένου ἀκούσαντες τοῦ θεράποντος, εὐθέως ἀφικνοῦνται βοηθήσοντες αὐτῷ. ταραξιππόστρατον δὲ καλοῦσι